οὔτε ἀναδραμεῖν οὔτε προβῆναι θαρροῦντες· τοσοῦτος ἔχει φόβος καὶ τοὺς στρουθοὺς εἰς τὸν ἱέρακα βλέποντας. ὁ δ᾽ ἀγρευτὴς πρὸς τὸν ἐπιδειχθέντα φόβον συντεταραγμένους αὐτοὺς ἀπὸ τοῦ δένδρου κατὰ σχολὴν καθελκύσει.

6. Ἀλλὰ καὶ τοῖς πλεκτοῖς τινες ἐπὶ τῶν δασειῶν ἀρουρῶν ὕπνου χρήζοντες περιπίπτουσι λίνοις, ὅταν ἡλίου δυέντος ὁ νυκτερινὸς ἐπίῃ καιρός.

7. Οἱ πέρδικες θηρῶνται λίνοις τε καὶ πηκτίσιν ἢ φωνῇ πέρδικος ἢ παροξυνθέντες εἰς μάχην ἢ ἐλάφου δορᾷ· τὸ γὰρ ζῷον τοῦτο φιλοῦντες ὑπερφυῶς ἐξαπατῶνται, εἴ τις ἀνὴρ δέρμα περιθέμενος ἐλάφου καὶ ἐπιθεὶς τῷ μετώπῳ κέρατα προσίοι λανθάνων αὐτοῖς, καὶ ἀληθῶς εἶναι ἔλαφον οἰηθέντες περιέπουσί τ᾽ αὐτὸν καὶ πλησιάζοντι χαίρουσι καὶ οὐδ᾽ ἀφίστασθαι βούλονται ὥς τινα συνήθη καὶ ὁμήλικον νέον μετὰ μακρὰν ἀποδημίαν θεώμενοι. τοῦ δ᾽ ἔρωτος αὐτοῖς ὁ καρπὸς βρόχοις τε περιπεσεῖν ἢ τοῖς τὰς πυκνὰς μολυβδαίνας ἔχουσι λίνοις καὶ τότε ἀντ᾽ ἐλάφου τόν τ᾽ ἀγρευτὴν καὶ τὴν ἀπάτην ἰδεῖν.

8. Ὃν δ᾽ ἐπὶ τοῖς ἐλάφοις ἔχουσιν οἱ πέρδικες ἔρωτα, τοῦτον ἐπὶ τοῖς ἵπποις αἱ ὠτίδες, καί τις ἐκ τούτου κατ᾽ αὐτῶν ἐπινενόηται τρόπος· λίνα τις ποταμοῦ πλησίον ἢ λίμνης ἐπιτηδείῳ στήσας χωρίῳ καὶ μικράν τινα ἐν μέσοις αὐτοῖς καταλιπὼν δίοδον, ὥσθ᾽ ἕνα δύνασθαι ἱππέα



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id404260144/49 UNIVERSITÄT LEIPZIG